ἐπείθετο ἀλλὰ τὸν ἱκέτην ἀπέκτεινεν. οὐ παύσομαι δὲ ἕως μὴ τελέως αὐτὸν ἐκριζώσω. ὁ δὲ Ζεὺς μὴ θέλων τὸ τῶν ἀετῶν γένος σπανισθῆναι συνεβούλευσε τῷ κανθάρῳ διαλλαγῆναι. τοῦ δὲ μὴ βουλομένου ὑπακοῦσαι μετέβαλεν ὁ Ζεὺς τὸν τοκετὸν τῶν ἀετῶν ὁπότε μὴ φαίνεται κάνθαρος. μηδὲ βλάπτειν δύναται. καὶ τότε τὸν ἀετὸν νεοττοποιεῖν. καὶ ὑμεῖς ὦ ἄνδρες Δέλφιοι, μὴ ἀτιμάσητε τὸν θεὸν τοῦτον. ὅτι τὸ ἱερὸν μικρὸν ὑπάρχει. ἐνθυμήθητε οὖν τὸ τοῦ κανθάρου. καὶ αἰδέσθητε τὸν ἀπόλλωνα διὰ τὸ ἐμὲ εἰς αὐτὸν καταφυγεῖν. οἱ δὲ τοῖς ὑπ' αὐτοῦ λεγομένοις μὴ πεισθέντες ἀπήγαγον αὐτὸν ἐπὶ τὸν κρημνὸν, καὶ ἔστησαν αὐτὸν ἐπὶ τοῦ ἄκρου. ὁ δὲ ἀσκόπως βλέπων τὸν ἑαυτοῦ μόρον, εἶπεν, ἀλιθαστοι, ἐπεὶ παντοίως ὑμᾶς οὐ πείθω, ἀκούσατέ μου τούτων τῶν λόγων.

http://digital.slub-dresden.de/ppn346259193/117